Πει. Ταυτὶ τοιαυτὶ μὰ Δί᾽ ἐγὼ μὲν πρᾶγμά πω
Γελοιότερον οὐκ εἶδον οὐδεπώποτε.
Ευ. Επὶ τῷ γελᾷς. Πει. ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις.
Οἶσθ᾽ ᾧ μάλιστ᾽ ἔοικας ἐπτερωμένος,
Ες εὐτέλειαν χηνὶ συγγεγραμμένῳ.
Ευ. Σὺ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.
Πει. Ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον,
Τάδ᾽ οὐχ ὑπ᾽ ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς.
Επ. Αγε δή, τί χρὴ δρᾶν; Πει. πρῶτον ὄνομα τῇ πόλει
Θέσθαι τι μέγα καὶ κλεινόν· εἶτα τοῖς θεοῖς
Θῦσαι μετὰ τοῦτο. Επ. ταῦτα κἀμοὶ συνδοκεῖ.
Πει. Φέρ᾽ ἴδω, τί δ᾽ ἡμῖν οὔνομ᾽ ἔσται τῇ πόλει.
Βούλεσθε τὸ μέγα τοῦτο τοὐκ Λακεδαίμονος,
Σπάρτην ὄνομα καλῶμεν αὐτήν. Επ. Ηράκλεις.
Σπάρτην γὰρ ἂν θείμην ἐγὼ τῇ ᾽μῇ πόλει,
Οὐδ᾽ ἂν χαμεύνῃ πάνυ γε κειρίαν ἔχων.
Πει. Τί δῆτ᾽ ὄνομ᾽ αὐτῇ θησόμεσθ᾽. Επ. ἐντευθενὶ
Εκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων.
Πει. Χαῦνόν τι πάνυ βούλει Νεφελοκοκκυγίαν.
Επ. Ιοὺ ἰού.
Καλόν γ᾽ ἀτεχνῶς καὶ μέγ᾽ εὗρες τοὔνομα.
Αρ᾽ ἐστὶν αὕτη γ᾽ ἡ Νεφελοκοκκυγία.
Ινα καὶ τὰ Θεαγένους τὰ πολλὰ χρήματα.
Τά τ᾽ Αἰσχίνου γ᾽ ἅπαντα. Πει. καὶ λῷστον μὲν ἢ
Τὸ Φλέγρας πεδίον. ἵν᾽ οἱ θεοὶ τοὺς γηγενεῖς

A *Pi. Hæc talia per Iouem ego quidem rem dum*
*Ridiculosiorem non vidi vnquam.*
*EV. Cur rides? Pi. Propter tuas veloces alas.*
*Scis cui maximè similis es alatus?*
*In paruitatem anseri depicto.*
*EV. Tu Copsicho scaphio euulso.*
B *Pi. Hæc quidem assimulamur secundùm Æschylum.*
*Hæc autem non ab alijs, sed suis ipsorum pennis.*
*EP. Age iam quid oportet facere? Pi. Primùm nomen ciuitati*
*Ponere aliquod magnum & inclytum, postea deis*
*Sacrificare post hoc. EP. Hæc & mihi simul videntur.*
C *Pi. Age videam, quod autem nobis nomen erit ciuitati?*
*Vultis magnum hoc ex Lacædemone?*
*Spartam nomen vocemus ipsam. EP. Hercules.*
*Spartam enim ponam ego meæ ciuitati,*
*Neque humi dormientem valde vinculũ habẽs.*
*Pi. Quod igitur nomen ipsi ponemus? EP. Illinc*
*Ex nebulis & altis locis.*
D *Pi. Latum aliquod valde vis Nephelococcygiã.*
*EP. Euge euge,*
*Bonum manifestè & magnum inuenisti nomen.*
*An est hæc Nephelococcygia?*
*Vbi & Theagenis multæ res,*
*Quæque Æschini omnia Pi. Et lostum quidem, vel*
*Phlegræ campum, vbi dei terrigenas*

E

Σχόλια. Ταυτὶ τοιαυτί.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, μετὰ δὲ τὸν ιθ στίχον, κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει κορωνίς. ἐξῆλθον δὲ οἱ δύο ἐπτερωμένοι. καὶ ἀλλήλων χλευάζοντες τὰ σχήματα. Ωκυπτέροις.] τῶν πτερῶν τὰ μὲν καλεῖται πτίλα. τὰ δὲ, πτερά. τὰ δὲ, ὠκύπτερα. Εἰς εὐτέλειαν.] εὐτελῶς γεγραμμένῳ χηνί. Αποτετιλμένῳ.] ἀποκεκομμένῳ. δύο δὲ εἴδη κουρᾶς. σκάφιον καὶ κῆπος. τὸ μὲν οὖν σκάφιον, τὸ ἐν χρῷ. ὁ δὲ κῆπος τὸ πρὸ μετώπου κεκοσμῆσθαι. Ταυτὶ μὲν ᾐκάσμεθα.] διεσκέμμεθα. Κατὰ τὸν Αἰσχύλον.] ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν.

Ως δ᾽ ἐστὶ μύθων καὶ λυβιστικῶν λόγος.
Πληγέντ᾽ ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν,
Εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος.
Τάδ᾽ οὐχ ὑπ᾽ ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
Αλισκόμεσθα.

πεποίηκε γὰρ ὁ Αἰσχύλος ἀετὸν τρωννύμενον, καὶ λέγοντα ταῦτα. ἐπειδὴ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἐμπεπαρμένον αὐτῷ. καὶ ἡμεῖς οὖν φησιν οὐχ ὑπ᾽ ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ ἑαυτῶν γνώμῃ. Τοῖς αὑτῶν πτεροῖς.] ὅλον τοῦτο ἐκ Μυρμιδόνων Αἰσχύλου. τὸ δὲ οὐχ ὑπ᾽ ἄλλων ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεθα. ἀντὶ τοῦ ἑαυτοῖς ταῦτα πεποιήκαμεν. Αγε δὴ τί χρὴ δρᾶν.] ἐν τισιν ὅλον, ἐν. ἐν ἐνίοις δὲ τὸ ἄγε δὴ τοῦτο, Εποπος. Μέγα.] παράδοξον, ὃ οὐκ ὠνόμασται πόλις. Τοῖς θεοῖς.] τοῖς ὄρνισι δηλονότι. Οὐδ᾽ ἂν χαμεύνῃ] Δίδυμός φησιν, οὐδ᾽ ἄσπαρτον ὥσπερ χρησαίμην. οὕτω μισῶ τὴν Σπάρτην. χαμεύνη δὲ, ταπεινὴ κλίνη. ὅθεν καὶ τὸ ὄνομα εἴληφεν. εἰς τὸ αὐτό. οὐδ᾽ ἂν τὴν χαμεύνην ὀνομάσαιμι Σπάρτην, εἴ γε κειρίας ἔχοιμι, καὶ μὴ σπαρτίον δεήσαιμι αὐτῇ ἐντεῖναι. ἡ δὲ χαμεύνη εὐτελής ἐστιν. ἡ δὲ κειρία, εἶδος ζώνης ἐκ σχοινίων παρεοικὸς ἱμάντι, ᾗ δεσμοῦσι τὰς κλίνας. Νεφελοκοκκυγίαν.] παρὰ τὰς νεφέλας καὶ τὸν κόκκυγα. ἔστι δὲ εἶδος ὀρνέου. χαῦνον δὲ ἀντὶ τοῦ

F πλατὺ καὶ μέγιστον. τὰ γὰρ χαῦνα εἰς πλάτος ἁπλοῦται. Ινα καὶ τὰ Θεαγένους.] προείρηκεν ὅτι πένης ἐστὶ, ἔλεγε δὲ αὐτὸν πλούσιον. εἰσὶ δὲ ἄλλοι δύο Θεαγένεις: εἷς μὲν ὁ περὶ Ομήρου γράψας. ἕτερος δὲ, ὁ ἐπὶ μαλακίᾳ σκωπτόμενος. εἰς τὸ αὐτὸ λέγεται ὅτι μεγαλέμπορός τις ἐβούλετο εἶναι. περαίτης ἀλαζών. ψευδόπλουτος. ἐκαλεῖτο δὲ καπνὸς, ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει. Εὔπολις ἐν δήμοις. Τά τ᾽ Αἰσχίνου γε ἅπαντα.] ἐστὶ πένης θρυπτόμενος καὶ αὐτὸς ἐπὶ πλούτῳ, καὶ λέγων ἑαυτὸν πλούσιον. ἦν δὲ Αἰσχίνης Σελλοῦ. ἔλεγον δὲ ἐκ μεταφο-

G ρᾶς τοὺς τοιούτους, Σελλούς. καὶ τὸ ἀλαζονεύεσθαι δὲ σελλίζειν. Τὸ Φλέγρας πεδίον] ἔξωθεν ὑπακουστέον τὸν ἢ διαζευκτικὸν σύνδεσμον. βέλτιόν φησι πιστεῦσαι τὰ χρήματα τούτων ἐν Νεφελοκοκκυγίᾳ ἀποκεῖσθαι, ἢ εἰς τὸ Φλέγρας πεδίον. διαβάλλει δὲ αὐτὸ ὡς κἀκεῖνο πεπλασμένον ὑπὸ τῶν ποιητῶν. ἔστι δὲ τὸ Θράκης πεδίον. Δίδυμος δέ φησι, διὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων τοῦ Φλέγρας καὶ τοῦ Νεφελοκοκκυγίας.